p. 447d. *εἰπέ μοι, ὦ Γοργία, ἀληθῆ λέγει.*

9 εἶπεν, ὅτι ἀληθῆ λέγει, θέλων καταιδῆσαι τὸν Γοργίαν, ὅτι τοσαῦτα ὑπέρογκα περὶ αὐτοῦ λέγουσιν· ὁ δὲ Γοργίας οὐκ ᾐδέσθη, ἀλλὰ ἀνάπτει τὸ πάθος· λέγει γὰρ ὅτι ναὶ ἀληθῆ λέγει· πρὸς ἅπαντα γὰρ ἀποκρίνομαι καὶ οὐκ ἔστι τι νέον, ὃ ὀφείλω ἐρωτηθῆναι. τοῦτο δὲ φθέγγεται ὡς ἀποδυσπετῶν πρὸς τοὺς ἀνθρώπους καὶ οἱονεὶ λέγων, ὅτι πάντα ἠρωτήθην καὶ πάντα ἐπελυσάμην καὶ οὐκ ἔστιν τι, ὃ λοιπὸν ὀφείλω ἐρωτηθῆναι.

p. 448a. *ἦ που ἄρα ῥαδίως ἀποκρίνῃ, ὦ Γοργία.*

10 ἆρα οὖν φησιν ῥᾷστα ἀποκρίνῃ ἡμῖν, ὦ Γοργία· ὁ δέ φησιν, ὅτι πάρεστι τούτου πεῖραν λαβεῖν· ὁ δὲ Πῶλος ὡς φιλότιμος προπηδᾷ τοῦ ἰδίου διδασκάλου καί φησιν, ὅτι μὰ τὸν Δία ἐὰν βούλῃ, ἐγώ σοι διαλέγομαι. ἰστέον δέ, ὅτι εἰκὸς μὴ ὡς φιλότιμον καὶ καταφρονοῦντα τοῦ ἰδίου διδασκάλου τοῦτο λέγειν, ἀλλ' ἐπειδὴ τοῦ μὲν φιλοσόφου διδασκαλεῖον ἡγεῖτο μὲν ὁ Σωκράτης, εἵπετο δὲ ὁ Χαιρεφῶν, τοῦ δὲ ῥητορικοῦ ἡγεῖτο μὲν ὁ Γοργίας, εἵπετο δὲ ὁ Πῶλος. φησίν, ὅτι σὺ ἑπόμενος ὢν μὴ διαλέγου τῷ ἡγουμένῳ ἀλλ' ἐμοὶ τῷ ἑπομένῳ. δεῖ δὲ εἰδέναι, ὅτι οἱ μαθηταὶ ὀφείλουσι παρόντων διδασκάλων τότε ἀποκρίνεσθαι, ὅταν κελεύσωσιν οἱ διδάσκαλοι, καὶ ὅταν οἱ μὲν διδάσκαλοι μὴ πρόχειρα ἔχωσι τὰ μαθήματα, οἱ δὲ μαθηταὶ ναί. πρὸς τούτοις δέ καὶ τοῦτο ἰστέον, ὅτι ὁ Σωκράτης τὸν Χαιρεφῶντα ἐποίησεν ἐρωτῆσαι, οὐχ ὡς μὴ ἀξιῶν αὐτὸς ἐρωτῆσαι, μωρὸν γάρ, ἀλλ' ὡς θέλων λαμπρῦναι τὸ διδασκαλεῖον αὐτοῦ ἅπαν καὶ κοσμεῖν καὶ ζητῶν μανθάνειν, εἰ οἷοι τέ εἰσιν οἱ μαθηταὶ αὐτοῦ εὑρίσκειν, τί χρηστόν.

p. 448a. *Γοργίας μὲν γάρ.*

11 ὁ γὰρ Γοργίας καὶ ἀπειρηκέναι μοι δοκεῖ πρὸς ὑμᾶς διαλέγεσθαι.

---

**14** mg. ση. διδασκαλικὸν παράγγελμα

---

11 ἀποκρίνῃ] **M** ἀποκρινη Plat. cod. **F** ἀποκρινεῖ Plat. cod. **B**